ΚΡ. ὅπου χθονὸς τῆσδ᾽ ἐκποδὼν μάλιστ᾽ ἔσει.
ΜΕ. οὐκοῦν σὲ φράζειν εἰκός, ἐκπονεῖν δ᾽ ἐμέ.
ΚΡ. Δελφοὺς περάσας φεῦγε ΜΕ. ποῖ με χρή, πάτερ
μολεῖν;
ΚΡ. Αἰτωλίδ᾽ εἰς γῆν. ΜΕ. ἐκ δὲ τῆσδε ποῖ περῶ;
ΚΡ. Θεσπρωτὸν οὖδας. ΜΕ. σεμνὰ Δωδώνης βάθρα;
ΚΡ. ἔγνως. ΜΕ. τί δὴ τόδ᾽ ἔρυμά μοι γενήσεται;
ΚΡ. πόμπιμος ὁ δαίμων. ΜΕ. χρημάτων δὲ τίς πόρος;
ΚΡ. ἐγὼ πορεύσω χρυσόν. ΜΕ. εὖ λέγεις, πάτερ.
χώρει νυν· ὡς σὴν πρὸς κασιγνήτην μολών,
ἧς πρῶτα μαστὸν εἵλκυσ᾽, Ἰοκάστην λέγω,
μητρὸς στερηθεὶς ὀρφανός τ᾽ ἀποζυγείς,
προσηγορήσων εἶμι καὶ σώσων βίον.
ἀλλ᾽ εἶα, χώρει· μὴ τὸ σὸν κωλυέτω.
γυναῖκες, ὡς εὖ πατρὸς ἐξεῖλον φόβον
κλέψας λόγοισιν, ὥσθ᾽ ἃ βούλομαι τυχεῖν·
ὅς μ᾽ ἐκκομίζει, πόλιν ἀποστερῶν τύχης,
καὶ δειλίᾳ δίδωσι. καὶ συγγνωστὰ μὲν
γέροντι, τοὐμὸν δ᾽ οὐχὶ συγγνώμην ἔχει,
προδότην γενέσθαι πατρίδος ἥ μ᾽ ἐγείνατο.
ὡς οὖν ἂν εἰδῆτ᾽, εἶμι καὶ σώσω πόλιν
ψυχήν τε δώσω τῆσδ᾽ ὑπερθανεῖν χθονός.
αἰσχρὸν γάρ· οἱ μὲν θεσφάτων ἐλεύθεροι
κοὐκ εἰς ἀνάγκην δαιμόνων ἀφιγμένοι
στάντες παρ᾽ ἀσπίδ᾽ οὐκ ὀκνήσουσιν θανεῖν,
πύργων πάροιθε μαχόμενοι πάτρας ὕπερ,
ἐγὼ δὲ πατέρα καὶ κασίγνητον προδοὺς
πόλιν τ᾽ ἐμαυτοῦ δειλὸς ὣς ἔξω χθονὸς
ἄπειμ᾽· ὅπου δ᾽ ἂν ζῶ, κακὸς φανήσομαι.
μὰ τὸν μετ᾽ ἄστρων Ζῆν᾽ Ἄρη τε φοίνιον,
ὃς τοὺς ὑπερτείλαντας ἐκ γαίας ποτὲ
σπαρτοὺς ἄνακτας τῆσδε γῆς ἱδρύσατο.

---

980. *πῆ C* *πάτερ* om. *C* 981. *πῆ C* 983. *τί δὴ τόδ᾽ ἔρυμα*] Musgravius, *τί δῆτ᾽ ἔρυμα* (*ἔρυγμα* B) libri. 986. *χώρει νυν* et v. 990 Creonti tribuunt libri. correxit Musgravius. 987. *πρῶτον C* *Ἰοκάστης C* 989. schol.: *ἄλλως· σώσων τὴν π ό λ ι ν.* 1002. *πάτρης C* 1006. *οὐ μὰ τόν* BF *ἄρην* BFC